The purpose of this apparatus is to show all variation within **Family 35**, for 1 John, as identified by a complete collation of the following forty-two representative MSS—18, 35, 141, 149, 201, 204, 328, 386, 394, 432, 604, 757, 824, 928, 986, 1072, 1075, 1100, 1248, 1249, 1503, 1548, 1637, 1725, 1732, 1754, 1761, 1768, 1855, 1864, 1865, 1876, 1892, 1897, 2221, 2352, 2431, 2466, 2554, 2587, 2626 and 2723. The first reading is that of the family and represents the vote of all the collated MSS (listed above) that are not identified as having a variant. It goes without saying that the base text is that of the family archetype, empirically determined. 204, 824, 1100 and 2554 have no variants.

# ΙΩΑΝΝΟΥ Α[1]

*[Prologue]*

**1**.1 Ὃ ἦν απ’ αρχης, ὃ ακηκοαμεν, ὃ ἑωρακαμεν τοις οφθαλμοις ἡμων, ὃ εθεασαμεθα και αἱ
χειρες ἡμων εψηλαφησαν περι του λογου της Ζωης—2 και ἡ Ζωη εφανερωθη, και ἑωρακαμεν
και μαρτυρουμεν και απαγγελλομεν ὑμιν[2] την[3] Ζωην την αιωνιον[4] ἥτις ἦν προς τον Πατερα
και εφανερωθη ἡμιν[5]—3 ὃ ἑωρακαμεν και ακηκοαμεν[6] απαγγελλομεν[7] ὑμιν,[8] ἱνα και ὑμεις
κοινωνιαν εχητε μεθ’ ἡμων· και ἡ κοινωνια δε ἡ ἡμετερα μετα του Πατρος και μετα[9] του
Υἱου αυτου, Ιησου Χριστου. 4 Και, ταυτα γραφομεν ὑμιν ἱνα ἡ χαρα ἡμων[10] ᾖ πεπληρωμενη.

## [The conditions of fellowship]

*[God is light]*

**1**.5 Και εστιν αὑτη[11] ἡ αγγελια ἣν ακηκοαμεν απ’ αυτου και αναγγελλομεν ὑμιν, ὁτι ὁ Θεος
φως εστιν και σκοτια εν αυτω ουκ εστιν ουδεμια. 6 Εαν ειπωμεν ὁτι[12] κοινωνιαν εχομεν[13]
μετ’ αυτου και εν τω σκοτει περιπατουμεν,[14] ψευδομεθα και ου ποιουμεν την αληθειαν. 7 Εαν
δε εν τω φωτι περιπατωμεν[15] ὡς αυτος εστιν εν τω φωτι, κοινωνιαν εχομεν μετ’ αλληλων,
και το αἱμα Ιησου Χριστου του Υἱου αυτου καθαριζει ἡμας απο πασης ἁμαρτιας.

*[God forgives confessed sin]*

8 Εαν ειπωμεν ὁτι ἁμαρτιαν ουκ εχομεν, ἑαυτους πλανωμεν και ἡ[16] Αληθεια ουκ
εστιν εν ἡμιν. 9 Εαν ὁμολογωμεν τας ἁμαρτιας ἡμων, πιστος εστιν και δικαιος ἱνα αφη[17]
ἡμιν τας ἁμαρτιας και καθαριση ἡμας απο πασης αδικιας. 10 Εαν ειπωμεν ὁτι ουχ
ἡμαρτηκαμεν, ψευστην ποιουμεν αυτον και ὁ λογος αυτου ουκ εστιν εν ἡμιν.

*[Jesus Christ is our Advocate]*

**2**.1 Τεκνια μου, ταυτα γραφω ὑμιν ἱνα μη ἁμαρτητε· και εαν τις ἁμαρτη, Παρακλητον
εχομεν προς τον Πατερα, Ιησουν Χριστον δικαιον 2—και αυτος ἱλασμος εστιν περι των
ἁμαρτιων ἡμων· ου περι των ἡμετερων δε μονον[18] αλλα και περι ὁλου του κοσμου.

*[We must keep His commandments]*

---

[1] Both the Text and the apparatus are the responsibility of Wilbur N. Pickering, ThM PhD, ©.
[2] υμιν || --- 986
[3] την || --- 386
[4] ζωην την αιωνιον || ~ 31 2466
[5] ημιν || υμιν 1897
[6] και ακηκοαμεν || --- 1754 [homoioteleuton]
[7] απαγγελλομεν || απαγγελομεν 1768
[8] υμιν || ημιν 149
[9] μετα || --- 1732
[10] ημων || υμων [41%] 432,604,1768
[11] εστιν αυτη || ~ 21 [22%] 328,2221
[12] οτι || --- 1897
[13] εχομεν || εχωμεν [14%] 1249
[14] περιπατουμεν 18,35,141,204,386,824,1100,1725,1732,1754,1761,1865,1876,1897,2221,2466,2554,2626,2723
περιπατωμεν [71%] 149,201,328,394,432,604,757,928,986,1072,1075,1248,1249,1503,1548,1637,1768,1855,1892,2352,2431,2587 || 1864 has a strange shape, like it is trying to be both forms at once—it is neither a normal ω nor a normal ου.
[15] ψευδομεθα και ου ποιουμεν την αληθειαν εαν δε εν τω φωτι περιπατωμεν || --- 1248 (an obvious case of homoioteleuton)
[16] η || --- 1248
[17] αφη || αφιη 986
[18] μονον || μονων [13%] 1876

3 Και εν τουτω γινωσκομεν ὁτι εγνωκαμεν αυτον,[1] εαν τας εντολας αυτου τηρωμεν.
4 Ὁ λεγων, "Εγνωκα αυτον", και τας εντολας αυτου μη τηρων, ψευστης εστιν και εν τουτω
ἡ αληθεια ουκ εστιν. 5 Ὃς δ' αν τηρη αυτου τον λογον, αληθως εν τουτω ἡ αγαπη του Θεου
τετελειωται: εν τουτω γινωσκομεν ὁτι εν αυτω εσμεν. 6 Ὁ λεγων εν αυτω μενειν οφειλει
καθως εκεινος περιεπατησεν και αυτος οὑτως[2] περιπατειν.

*[An old/new commandment]*

7 Αδελφοι, ουκ εντολην καινην γραφω ὑμιν, αλλ' εντολην παλαιαν ἣν ειχετε απ'
αρχης· ἡ εντολη ἡ παλαια εστιν ὁ λογος ὃν ηκουσατε απ' αρχης. 8 Παλιν, εντολην καινην
γραφω ὑμιν, ὅ εστιν αληθες εν αυτω και εν ὑμιν, ὁτι ἡ σκοτια παραγεται και το φως το
αληθινον ηδη[3] φαινει. 9 Ὁ λεγων εν τω φωτι ειναι και τον αδελφον αυτου μισων εν τη
σκοτια εστιν ἑως αρτι. 10 Ὁ αγαπων τον αδελφον αυτου[4] εν τω φωτι μένει, και σκανδαλον
εν αυτω ουκ εστιν. 11 Ὁ δε μισων τον αδελφον αυτου εν τη σκοτια εστιν[5] και εν τη σκοτια[6]
περιπατει· και ουκ οιδεν[7] που ὑπαγει ὁτι ἡ σκοτια ετυφλωσεν τους οφθαλμους αυτου.

[Look out for the emeny!]

*[A bit of poetry]*

**2**.12 Γραφω ὑμιν τεκνια, ὁτι αφεωνται ὑμιν[8] αἱ ἁμαρτιαι δια το ονομα αυτου 13—γραφω
ὑμιν πατερες, ὁτι εγνωκατε τον απ' αρχης· γραφω ὑμιν νεανισκοι, ὁτι νενικηκατε[9] τον
πονηρον· γραφω ὑμιν παιδια, ὁτι εγνωκατε τον Πατερα—14 εγραψα ὑμιν πατερες, ὁτι[10]
εγνωκατε τον απ' αρχης· εγραψα ὑμιν νεανισκοι, ὁτι ισχυροι εστε, και ὁ λογος του Θεου εν
ὑμιν μενει και νενικηκατε τον πονηρον.

*[We must not love the 'world']*

15 Μη αγαπατε τον κοσμον, μηδε τα εν τω[11] κοσμω· εαν τις αγαπα τον κοσμον, ουκ
εστιν ἡ αγαπη του Πατρος εν αυτω. 16 Ὁτι παν το[12] εν τω κοσμω—ἡ επιθυμια της σαρκος
και ἡ επιθυμια των οφθαλμων και ἡ αλαζονεια[13] του βιου—ουκ εστιν εκ του Πατρος αλλ' εκ
του κοσμου εστιν. 17 Και ὁ κοσμος παραγεται, και ἡ επιθυμια αυτου, ὁ δε ποιων το θελημα
του Θεου μένει εις τον αιωνα.

*[A bunch of little antichrists]*

18 Παιδια, εσχατη ὡρα εστιν, και καθως ηκουσατε ὁτι ὁ Αντιχριστος ερχεται, και
νυν αντιχριστοι[14] πολλοι γεγονασιν, ὁθεν γινωσκομεν ὁτι εσχατη ὡρα εστιν. 19 Εξ ἡμων
εξηλθον αλλ' ουκ ησαν[15] εξ ἡμων, ει γαρ ησαν εξ ἡμων, μεμενηκεισαν αν μεθ' ἡμων—αλλ' ἱνα
φανερωθωσιν, ὁτι ουκ εισιν παντες εξ ἡμων.

20 Και ὑμεις Χρισμα εχετε απο του Ἁγιου και οιδατε παντα. 21 Ουκ εγραψα ὑμιν
ὁτι ουκ οιδατε την αληθειαν, αλλ' ὁτι οιδατε αυτην, και ὁτι παν ψευδος εκ της Αληθειας ουκ
εστιν.

*[We must abide in the Truth]*

---

[1] αυτον || αυτων 1754
[2] ουτως || ουτος 2431
[3] ηδη || ηδει 1754
[4] αυτου 1892c || --- 1892
[5] 1761 omits εως αρτι ο αγαπων τον αδελφον αυτου εν τω φωτι μενει και σκανδαλον εν αυτω ουκ εστιν ο δε μισων τον αδελφον αυτου εν τη σκοτια εστιν [homoioteleuton]
[6] 1754 omits εστιν και εν τη σκοτια [homoioteleuton]
[7] οιδεν || ειδεν [12%] 18,149,201
[8] υμιν || υμων 394
[9] νενικηκατε || ενικηκατε 1248
[10] οτι || οτε 149
[11] τω || --- 604,1725,1768
[12] το || τω [1%] 149,201
[13] αλαζονεια || αλαζωνεια 1876
[14] αντιχριστοι || αντιχρηστοι 2431
[15] ησαν || ηκουσαν 1248

22 Τίς εστιν ὁ ψευστης ει μη ὁ αρνουμενος ὁτι Ιησους ουκ εστιν ὁ Χριστος? Οὑτος
εστιν ὁ Αντιχριστος,[1] ὁ αρνουμενος τον Πατερα και τον Υἱον. 23 Πας ὁ αρνουμενος τον
Υἱον ουδε τον Πατερα εχει.[2] 24 Ὑμεις ουν, ὃ ηκουσατε απ' αρχης εν ὑμιν μενετω· εαν εν[3]
ὑμιν μεινη ὃ απ' αρχης ηκουσατε, και ὑμεις εν τω Πατρι και εν τω Υἱω μενειτε.
25 Και αὑτη εστιν ἡ επαγγελια ἣν αυτος επηγγειλατο ἡμιν: την[4] ζωην την αιωνιον.
26 Ταυτα εγραψα ὑμιν περι των πλανωντων ὑμας· 27 και ὑμεις, το Χρισμα ὃ ελαβετε απ'
αυτου εν ὑμιν μένει, και ου χρειαν εχετε ἱνα τις διδασκη[5] ὑμας· αλλ' ὡς το αυτο Χρισμα
διδασκει ὑμας[6] περι παντων, και αληθες εστιν και ουκ εστιν ψευδος—και καθως εδιδαξεν
ὑμας, μενειτε εν αυτω.

[Remember the accounting at our Lord's return]

**2**.28 Και νυν, τεκνια, μενετε[7] εν αυτω, ἱνα ὁταν φανερωθη εχωμεν[8] παρρησιαν και μη
αισχυνθωμεν απ' αυτου εν τη παρουσια αυτου. 29 Εαν[9] ειδητε ὁτι δικαιος εστιν, γινωσκετε
ὁτι πας ὁ ποιων την δικαιοσυνην εξ αυτου γεγεννηται.[10]

*["We are children of God"]*

**3**.1 Ιδετε ποταπην αγαπην δεδωκεν ἡμιν ὁ Πατηρ, ἱνα τεκνα Θεου κληθωμεν! Δια
τουτο ὁ κοσμος ου γινωσκει ἡμας,[11] ὁτι ουκ εγνω αυτον.
2 Αγαπητοι, νυν τεκνα Θεου εσμεν και ουπω εφανερωθη τί εσομεθα,[12] οιδαμεν δε ὁτι
εαν φανερωθη ὁμοιοι αυτω εσομεθα, ὁτι οψομεθα αυτον καθως εστιν 3—και πας ὁ εχων την
ελπιδα ταυτην επ' αυτω ἁγνιζει ἑαυτον,[13] καθως εκεινος ἁγνος εστιν.

*["Whoever abides in Him does not sin"]*

4 Πας ὁ ποιων την ἁμαρτιαν και την ανομιαν ποιει· και ἡ ἁμαρτια εστιν ἡ ανομια.
5 Και οιδατε ὁτι εκεινος εφανερωθη ἱνα τας ἁμαρτιας ἡμων[14] αρη—και ἁμαρτια εν αυτω ουκ
εστιν. 6 Πας ὁ εν αυτω μενων ουχ ἁμαρτανει· και,[15] πας ὁ ἁμαρτανων ουχ ἑωρακεν αυτον
ουδε εγνωκεν αυτον.
7 Τεκνια, μηδεις πλανατω ὑμας· ὁ ποιων την δικαιοσυνην δικαιος εστιν, καθως
εκεινος δικαιος εστιν.[16] 8 Ὁ ποιων την ἁμαρτιαν εκ του διαβολου εστιν, ὁτι απ' αρχης[17] ὁ
διαβολος ἁμαρτανει. Εις τουτο εφανερωθη ὁ Υἱος του Θεου: ἱνα λυση τα εργα του διαβολου.
9 Πας ὁ γεγεννημενος[18] εκ του Θεου ἁμαρτιαν ου ποιει, ὁτι σπερμα αυτου εν αυτω μένει·
και, ου δυναται ἁμαρτανειν ὁτι εκ του Θεου γεγεννηται.

*[Children of God X children of the devil]*

10 Εν τουτω φανερα εστιν τα τεκνα του Θεου και τα τεκνα του διαβολου: πας ὁ μη
ποιων[19] δικαιοσυνην ουκ εστιν εκ του Θεου, και ὁ μη αγαπων τον αδελφον αυτου. 11 Ὁτι
αὑτη εστιν ἡ αγγελια ἣν ηκουσατε απ' αρχης, ἱνα αγαπωμεν αλληλους 12—ου καθως Καιν, εκ

---

[1] αντιχριστος || αντιχρηστος 1725
[2] εχει || 1 ο ομολογων τον υιον και τον πατερα εχει (20.8%) 1768[m]
[3] εν || --- [2%] 328,986
[4] την 1072[c] || --- [5%] 18,1072
[5] διδασκη || διδασκει [28%] 1876
[6] αλλ ως το αυτο χρισμα διδασκει υμας 1865[c] || --- 1865,2723 (a clear case of homoioteleuton)
[7] μενετε || μενειτε 1754
[8] εχωμεν || εχομεν 2431
[9] εαν || 1 δε 986
[10] γεγεννηται 328[c],1637[c],1768[c] || γεγενηται [30%] 328,432,1637,1768,2466
[11] ημας || υμας [63.5%] 141,1892
[12] εσομεθα || εσωμεθα 1754 (twice)
[13] εαυτον || εαυτων 1754
[14] ημων || --- [4.2%] 1732
[15] και 35[c] || --- [80%] 35
[16] καθως εκεινος δικαιος εστιν || --- 141 (an easy case of homoioteleuton)
[17] απ αρχης || --- 141
[18] γεγεννημενος || γεγενημενος [15%] 149,2466
[19] ποιων || 1 την [18%] 1761

του πονηρου ἦν και εσφαξεν τον αδελφον αυτου. Και χαριν τίνος[1] εσφαξεν αυτον? Ὁτι τα
εργα αυτου πονηρα ἦν, τα δε του αδελφου αυτου δικαια.
13 Μη θαυμαζετε, αδελφοι μου, ει μισει ὑμας[2] ὁ κοσμος. 14 Ἡμεις οιδαμεν ὁτι
μεταβεβηκαμεν εκ του θανατου εις την ζωην ὁτι αγαπωμεν τους αδελφους· ὁ μη αγαπων τον
αδελφον μένει εν τω θανατω. 15 Πας[3] ὁ μισων τον αδελφον αυτου ανθρωποκτονος εστιν, και
οιδατε ὁτι[4] πας ανθρωποκτονος[5] ουκ εχει ζωην αιωνιον εν ἑαυτω[6] μενουσαν.

*[Love in deed and truth]*

16 Εν τουτω εγνωκαμεν την αγαπην: ὁτι εκεινος ὑπερ ἡμων την ψυχην αυτου εθηκεν·
και ἡμεις οφειλομεν ὑπερ των αδελφων τας ψυχας τιθεναι. 17 Ὃς δ’ αν εχη τον βιον του
κοσμου και θεωρη[7] τον αδελφον αυτου χρειαν εχοντα, και κλειση τα σπλαγχνα αυτου απ’
αυτου—πως ἡ αγαπη του Θεου μένει[8] εν αυτω?
18 Τεκνια μου, μη αγαπωμεν λογω μηδε τη[9] γλωσση, αλλ’ εν[10] εργω και[11] αληθεια
19—και, εν τουτω γινωσκομεν[12] ὁτι εκ της Αληθειας εσμεν και εμπροσθεν αυτου πεισωμεν[13]
τας καρδιας ἡμων· 20 ὁτι εαν καταγινωσκη ἡμων ἡ καρδια, ὁτι μειζων εστιν ὁ Θεος της
καρδιας ἡμων και γινωσκει παντα.

*[Confidence toward God]*

21 Αγαπητοι,[14] εαν ἡ καρδια ἡμων μη καταγινωσκη[15] ἡμων,[16] παρρησιαν εχομεν προς
τον Θεον, 22 και ὃ εαν αιτωμεν λαμβανομεν[17] παρ’ αυτου, ὁτι τας εντολας αυτου τηρουμεν
και τα αρεστα ενωπιον αυτου ποιουμεν. 23 Και αὑτη εστιν ἡ εντολη αυτου, ἱνα
πιστευσωμεν[18] τω ονοματι του Υἱου αυτου, Ιησου Χριστου, και αγαπωμεν αλληλους, καθως
εδωκεν εντολην. 24 Και ὁ τηρων τας εντολας αυτου εν αυτω μένει, και αυτος εν αυτω. Εν
τουτω γινωσκομεν ὁτι μένει εν ἡμιν:[19] εκ του Πνευματος οὑ ἡμιν εδωκεν.[20]

## [Various instructions]

*[Test the spirits]*

**4**.1 Αγαπητοι, μη[21] παντι πνευματι πιστευετε,[22] αλλα δοκιμαζετε τα πνευματα, ει εκ του Θεου
εστιν, ὁτι πολλοι ψευδοπροφηται εξεληλυθασιν εις τον κοσμον. 2 Εν τουτω γινωσκεται[23] το
Πνευμα του Θεου: παν πνευμα ὃ ὁμολογει[24] Ιησουν Χριστουν εν σαρκι εληλυθοτα εκ του Θεου
εστιν, 3 και παν πνευμα ὃ μη ὁμολογει[25] Ιησουν Χριστον εν σαρκι εληλυθοτα εκ του Θεου

---

[1] χαριν τινος || ~ 21 1248,2352
[2] υμας || ημας 604
[3] πας || --- 141
[4] οτι || --- 1892
[5] εστιν και οιδατε οτι πας ανθρωποκτονος || --- 1248 (an obvious case of homoioteleuton)
[6] εαυτω || αυτω [30%] 18,386
[7] θεωρη || θεωρει [53%] 328,394,2431
[8] μένει || μενεῖ [17%] 1892
[9] τη || --- [15%] 986,1876,2626
[10] εν || --- [35%] 2221
[11] και 149c || 1 τη 149
[12] γινωσκομεν || γινοσκομεν 1876
[13] πεισωμεν || πεισομεν [56%] 432,604,1768
[14] αγαπητοι || αγαποιται 1754
[15] καταγινωσκη || καταγινωσκει [29%] 1754
[16] ημων || υμων 1754
[17] λαμβανομεν || λαββανομεν 201 || λαμβανωμεν [16%] 1249
[18] πιστευσωμεν 35c,928c,1855c || πιστευωμεν (26.5%) 35,928,1249,1855,2554c
[19] μενει εν ημιν || ~ 231 432,604,1768
[20] ημιν εδωκεν || ~ 21 [25%] 328
[21] μη || 1 εν 1754
[22] πιστευετε || πιστευητε 386
[23] γινωσκεται || γινωσκετε [25%] 432
[24] ομολογει || ομολογειν 1754
[25] ὁμολογει || ομολογει 2626

ουκ εστιν· και, τουτο εστιν το του Αντιχριστου, ὃ ακηκοατε ὁτι ερχεται—και, νυν εν τω
κοσμω εστιν ηδη.
4 Ὑμεις εκ του Θεου εστε, τεκνια, και νενικηκατε αυτους,[1] ὁτι μειζων εστιν ὁ εν
ὑμιν ἡ ὁ εν τω κοσμω. 5 Αυτοι εκ του κοσμου εισιν· δια τουτο εκ του κοσμου λαλουσιν,[2] και
ὁ κοσμος αυτων ακουει. 6 Ἡμεις εκ του Θεου εσμεν: ὁ γινωσκων τον Θεον ακουει ἡμων· ὃς
ουκ εστιν εκ του Θεου ουκ ακουει ἡμων[3]—εκ τουτου γινωσκομεν το πνευμα της αληθειας και
το πνευμα της πλανης.

*[Love one another]*

7 Αγαπητοι, αγαπωμεν αλληλους, ὁτι ἡ αγαπη εκ του Θεου εστιν και πας ὁ αγαπων εκ
του Θεου γεγεννηται και γινωσκει τον Θεον. 8 Ὁ μη αγαπων ουκ εγνω τον Θεον, ὁτι ὁ Θεος
αγαπη εστιν. 9 Εν τουτω εφανερωθη ἡ αγαπη του Θεου εν ἡμιν: ὁτι τον Υἱον αυτου τον
μονογενη απεσταλκεν[4] ὁ Θεος εις τον κοσμον ἱνα ζησωμεν δι’ αυτου.[5] 10 Εν τουτω εστιν ἡ
αγαπη, ουχ ὁτι ἡμεις ηγαπησαμεν τον Θεον αλλ’ ὁτι αυτος ηγαπησεν ἡμας—και απεστειλεν
τον Υἱον αυτου ἱλασμον περι των ἁμαρτιων ἡμων. 11 Αγαπητοι, ει οὑτως ὁ Θεος ηγαπησεν
ἡμας και ἡμεις οφειλομεν αλληλους αγαπαν.

*[As He is so are we in this world]*

12 Θεον ουδεις πωποτε τεθεαται. Εαν αγαπωμεν αλληλους ὁ Θεος εν ἡμιν μένει και ἡ
αγαπη αυτου τετελειωμενη[6] εστιν εν ἡμιν. 13 Εν τουτω γινωσκομεν ὁτι εν αυτω μενομεν και
αυτος εν ἡμιν,[7] ὁτι εκ του Πνευματος αυτου δεδωκεν ἡμιν. 14 Και, ἡμεις τεθεαμεθα και
μαρτυρουμεν ὁτι ὁ Πατηρ απεσταλκεν τον Υἱον Σωτηρα του κοσμου. 15 Ὃς αν ὁμολογηση[8]
ὁτι Ιησους εστιν ὁ Υἱος του Θεου, ὁ Θεος εν αυτω μένει και αυτος εν τω Θεω. 16 Και ἡμεις
εγνωκαμεν και πεπιστευκαμεν[9] την αγαπην ἣν εχει ὁ Θεος εν ἡμιν. Ὁ Θεος αγαπη εστιν, και
ὁ μενων εν τη αγαπη εν τω Θεω μένει, και ὁ Θεος εν αυτω. 17 Εν τουτω τετελειωται ἡ
αγαπη μεθ’ ἡμων: ἱνα παρρησιαν[10] εχωμεν εν τη ἡμερα της κρισεως, ὁτι καθως εκεινος εστιν
και ἡμεις εσμεν εν τω κοσμω τουτω.

*[There is no fear in love]*

18 Φοβος ουκ εστιν εν τη αγαπη· αλλ’ ἡ τελεια αγαπη εξω βαλλει[11] τον φοβον, ὁτι ὁ
φοβος κολασιν εχει· ὁ δε φοβουμενος ου τετελειωται εν τη αγαπη. 19 Ἡμεις αγαπωμεν αυτον
ὁτι αυτος πρωτος ηγαπησεν ἡμας.
20 Εαν τις ειπη ὁτι “Αγαπω τον Θεον”, και τον αδελφον αυτου μισει,[12] ψευστης
εστιν. Ὁ γαρ μη αγαπων τον αδελφον αυτου ὃν ἑωρακεν, τον Θεον ὃν ουχ ἑωρακεν πως
δυναται αγαπαν? 21 Και, ταυτην την εντολην εχομεν απ’ αυτου: ἱνα ὁ αγαπων τον Θεον
αγαπα και τον αδελφον αυτου.

*[Our faith overcomes the world]*

**5**.1 Πας ὁ πιστευων ὁτι Ιησους εστιν ὁ Χριστος εκ του Θεου γεγεννηται·[13] και πας ὁ
αγαπων τον γεννησαντα αγαπα και τον γεγεννημενον εξ αυτου. 2 Εν τουτω γινωσκομεν ὁτι
αγαπωμεν τα τεκνα του Θεου, ὁταν τον Θεον αγαπωμεν και τας εντολας αυτου τηρωμεν.
3 Αὑτη γαρ εστιν ἡ αγαπη του Θεου, ἱνα τας εντολας αυτου τηρωμεν·[14] και αἱ εντολαι αυτου

---

1 αυτους || αυτον 1100[c]
2 λαλουσιν || λαλαλουσιν 1503 (from one line to the next)
3 ος ουκ εστιν εκ του θεου ουκ ακουει ημων 2352[c] || --- 141,2352 (an easy case of homoioteleuton)
4 απεσταλκεν || απεστειλεν [7%] 328,386
5 432 repeats verse 9 entire; a probable case of homoioarcton.
6 τετελειωμενη || τετελειωμενει 328
7 ημιν || υμιν 1754
8 ομολογηση || ομολογησει [16%] 1754
9 και πεπιστευκαμεν || --- 1754 [homoioteleuton]
10 παρρησιαν || παρησιαν 1754
11 βαλλει || βαλλειν 1754
12 μισει || μιση [26%] 328,386,394,604,928,1249,1548,1855,2587
13 γεγεννηται || γεγενηται 149
14 386 omits the compound clause from the beginning of the verse; a clear case of homoioteleuton.

βαρειαι ουκ εισιν, 4 ὁτι παν το γεγεννημενον[1] εκ του[2] Θεου νικα τον κοσμον· και αὑτη εστιν ἡ νικη ἡ νικησασα τον κοσμον: ἡ πιστις ἡμων. 5 Τίς εστιν ὁ νικων τον κοσμον ει μη ὁ πιστευων ὁτι Ιησους εστιν ὁ Υἱος του Θεου?

*[Receive the witness of God]*

6 Οὑτος εστιν ὁ ελθων δι' ὑδατος και αἱματος, Ιησους Χριστος—ουκ εν τω ὑδατι μονον, αλλ' εν τω ὑδατι και τω αἱματι. Και το Πνευμα εστιν το μαρτυρουν, ὁτι το[3] Πνευμα εστιν ἡ αληθεια· 7 ὁτι τρεις εισιν οἱ μαρτυρουντες—8 το Πνευμα και το ὑδωρ και το αἱμα—και οἱ[4] τρεις εις[5] το ἑν εισιν. 9 Ει την μαρτυριαν των ανθρωπων λαμβανομεν, ἡ μαρτυρια του Θεου μειζων εστιν· ὁτι αὑτη εστιν ἡ μαρτυρια του Θεου ἣν μεμαρτυρηκεν περι του Υἱου αυτου. 10 Ὁ πιστευων εις τον Υἱον του Θεου εχει την μαρτυριαν εν ἑαυτω· ὁ μη πιστευων τω Θεω[6] ψευστην πεποιηκεν αυτον,[7] ὁτι ου πεπιστευκεν[8] εις την μαρτυριαν ἣν μεμαρτυρηκεν ὁ Θεος περι του Υἱου αυτου. 11 Και αὑτη εστιν ἡ μαρτυρια: ὁτι ζωην αιωνιον εδωκεν ὁ Θεος ἡμιν,[9] και αὑτη ἡ ζωη εν τω Υἱω αυτου εστιν. 12 Ὁ εχων τον Υἱον εχει την[10] ζωην· ὁ μη εχων τον Υἱον του Θεου την ζωην ουκ εχει.

13 Ταυτα εγραψα ὑμιν τοις πιστευουσιν εις το ονομα του Υἱου του Θεου ἱνα ειδητε ὁτι ζωην αιωνιον εχετε, και ἱνα πιστευητε[11] εις το ονομα του Υἱου του Θεου.

*[Our confidence]*

14 Και αὑτη εστιν ἡ[12] παρρησια ἣν εχομεν προς αυτον: ὁτι εαν τι αιτωμεθα κατα το θελημα αυτου, ακουει ἡμων. 15 Και εαν οιδαμεν ὁτι ακουει ἡμων, ὃ εαν αιτωμεθα, οιδαμεν ὁτι εχομεν τα αιτηματα ἃ ητηκαμεν παρ' αυτου.

*[Sins not leading to death]*

16 Εαν τις ιδη[13] τον αδελφον αυτου ἁμαρτανοντα ἁμαρτιαν μη προς θανατον, αιτησει, και δωσει αυτω ζωην τοις ἁμαρτανουσιν μη προς θανατον. Εστιν ἁμαρτια προς θανατον· ου περι εκεινης λεγω ἱνα ερωτηση. 17 Πασα αδικια ἁμαρτια εστιν, και εστιν ἁμαρτια ου προς θανατον.

18 Οιδαμεν ὁτι πας ὁ γεγεννημενος εκ του Θεου ουχ ἁμαρτανει· αλλ' ὁ γεννηθεις εκ του Θεου τηρει ἑαυτον, και ὁ πονηρος ουχ ἁπτεται αυτου.

19 Οιδαμεν ὁτι εκ του Θεου εσμεν, και ὁ κοσμος ὁλος εν τω πονηρω κειται.

## [Conclusion]

**5**.20 Οιδαμεν δε ὁτι ὁ Υἱος του Θεου ἡκει και δεδωκεν ἡμιν διανοιαν, ἱνα γινωσκωμεν[14] τον αληθινον· και εσμεν εν τω αληθινω, εν τω Υἱω αυτου Ιησου Χριστω. Οὑτος εστιν ὁ αληθινος Θεος, και ἡ ζωη ἡ αιωνιος. 21 Τεκνια, φυλαξατε ἑαυτους απο των ειδωλων. Αμην.[15]

---

[1] γεγεννημενον || γεγενημενον 149,2466
[2] του || --- 2431
[3] το || --- 386
[4] οι || ει 1754
[5] εις || εν 1732
[6] τω θεω 432c || τον θεον 432
[7] αυτον || εαυτον 141 [!]
[8] πεπιστευκεν || πεπιστευκαμεν 1876,2626
[9] ο θεος ημιν || ~ 312 [76%] 432,604,1761,1768
[10] την 1876c || --- 1876
[11] πιστευητε || πιστευηται 1548 (TuT wrong)
[12] η || ην 432
[13] ιδη || ειδη 1892
[14] γινωσκωμεν || γινωσκομεν [34%] 394,604,1754
[15] The Greek font used is Bwgrkl and may be downloaded free from http://www.bibleworks.com.